3 Ὑπομίμνῃσκε αὐτοὺς ἀρχαῖς ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι,
VMPA--2S NPAM3P N-DF-P N-DF-P VNPP VNPA PA A--AN-S N-AN-S A--AN-S A--AM-P VNPA
ὑπομιμνῄσκω αὐτός ἀρχή ἐξουσία ὑποτάσσω πειθαρχέω πρός πᾶς ἔργον ἀγαθός ἕτοιμος εἰμί

2 μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πραΰτητα πρὸς πάντας ἀνθρώπους. 3 Ἦμεν γάρ
APCAM-S VNPA A--AM-P VNPA A--AM-P A--AF-S VPPMAM-P N-AF-S PA A--AM-P N-AM-P VIIA--1P CS
μηδείς βλασφημέω ἄμαχος εἰμί ἐπιεικής πᾶς ἐνδείκνυμι πραΰτης πρός πᾶς ἄνθρωπος εἰμί γάρ

ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ
ABI AB NPN-1P A--NM-P A--NM-P VPPPNM1P VPPANM1P N-DF-P CC N-DF-P A--DF-P PD N-DF-S CC N-DM-S
ποτέ καί ἐγώ ἀνόητος ἀπειθής πλανάω δουλεύω ἐπιθυμία καί ἡδονή ποικίλος ἐν κακία καί φθόνος

διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους. 4 ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν
VPPANM1P A--NM-P VPPANM1P NPAM1P CS CH DNFS N-NF-S CC DNFS N-NF-S VIAP--3S DGMS N-GM-S NPG-1P
διάγω στυγητός μισέω ἀλλήλων ὅτε δέ ὁ χρηστότης καί ὁ φιλανθρωπία ἐπιφαίνω ὁ σωτήρ ἐγώ

θεοῦ, 5 οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς
N-GM-S QN PG N-GN-P DGNP PD N-DF-S APRAN-P VIAA--1P NPN-1P CH PA DANS NPGM3S N-AN-S VIAA--3S NPA-1P
θεός οὐ ἐκ ἔργον ὁ ἐν δικαιοσύνη ὅς ποιέω ἐγώ ἀλλά κατά ὁ αὐτός ἔλεος σῴζω ἐγώ

διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, 6 οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ
PG N-GN-S N-GF-S CC N-GF-S N-GN-S A--GN-S APRGN-S^APRAN-S VIAA--3S PA NPA-1P AB PG
διά λουτρόν παλιγγενεσία καί ἀνακαίνωσις πνεῦμα ἅγιος ὅς ἐκχέω ἐπί ἐγώ πλουσίως διά

Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, 7 ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενηθῶμεν κατ᾽ ἐλπίδα ζωῆς
N-GM-S N-GM-S DGMS N-GM-S NPG-1P CS VPAPNM1P DDFS APDGM-S N-DF-S N-NM-P VSAO--1P PA N-AF-S N-GF-S
Ἰησοῦς Χριστός ὁ σωτήρ ἐγώ ἵνα δικαιόω ὁ ἐκεῖνος χάρις κληρονόμος γίνομαι κατά ἐλπίς ζωή

αἰωνίου.
A--GF-S
αἰώνιος

8 Πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσιν καλῶν ἔργων
A--NM-S DNMS N-NM-S CC PG APDGN-P VIPN--1S NPA-2S VNPN CC/CS VSPA--3P A--GN-P N-GN-P
πιστός ὁ λόγος καί περί οὗτος βούλομαι σύ διαβεβαιόομαι ἵνα φροντίζω καλός ἔργον

προΐστασθαι οἱ πεπιστευκότες θεῷ· ταῦτά ἐστιν καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. 9 μωρὰς δὲ ζητήσεις καὶ
VNPM DNMP+ VPRANM-P N-DM-S APDNN-P VIPA--3S A--NN-P CC A--NN-P DDMP N-DM-P A--AF-P CH N-AF-P CC
προΐστημι ὁ πιστεύω θεός οὗτος εἰμί καλός καί ὠφέλιμος ὁ ἄνθρωπος μωρός δέ ζήτησις καί

γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶν γὰρ ἀνωφελεῖς καὶ μάταιοι. 10 αἱρετικὸν ἄνθρωπον μετὰ
N-AF-P CC N-AF-P CC N-AF-P A--AF-P VMPM--2S VIPA--3P CS A--NF-P CC A--NF-P A--AM-S N-AM-S PA
γενεαλογία καί ἔρις καί μάχη νομικός περιΐστημι εἰμί γάρ ἀνωφελής καί μάταιος αἱρετικός ἄνθρωπος μετά

μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, 11 εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν
A-CAF-S CC A-OAF-S N-AF-S VMPN--2S VPRANM2S CH VIRP--3S DNMS APDNM-S CC VIPA--3S VPPANM-S
εἷς καί δεύτερος νουθεσία παραιτέομαι οἶδα ὅτι ἐκστρέφω ὁ τοιοῦτος καί ἁμαρτάνω εἰμί

αὐτοκατάκριτος.
A--NM-S
αὐτοκατάκριτος

12 Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σὲ ἢ Τύχικον, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν, ἐκεῖ γὰρ κέκρικα
CS VSAA--1S N-AM-S PA NPA-2S CC N-AM-S VMAA--2S VNAA PA NPA-1S PA N-AF-S AB CS VIRA--1S
ὅταν πέμπω Ἀρτεμᾶς πρός σύ ἤ Τυχικός σπουδάζω ἔρχομαι πρός ἐγώ εἰς Νικόπολις ἐκεῖ γάρ κρίνω

παραχειμάσαι. 13 Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλῶν σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.
VNAA N-AM-S DAMS AP-AM-S CC N-AM-S AB VMAA--2S CS APCNN-S NPDM3P VSPA--3S
παραχειμάζω Ζηνᾶς ὁ νομικός καί Ἀπολλῶς σπουδαίως προπέμπω ἵνα μηδείς αὐτός λείπω

14 μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.
VMPA--3P CC AB DNMP AP-NM1P A--GN-P N-GN-P VNPM PA DAFP A--AF-P N-AF-P CS QN VSPA--3P A--NM-P
μανθάνω δέ καί ὁ ἡμέτερος καλός ἔργον προΐστημι εἰς ὁ ἀναγκαῖος χρεία ἵνα μή εἰμί ἄκαρπος

15 Ἀσπάζονταί σε οἱ μετ᾽ ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. ἡ χάρις μετὰ
VIPN--3P NPA-2S DNMP+ PG NPG-1S A--NM-P VMAD--2S DAMP+ VPPAAM-P NPA-1P PD N-DF-S DNFS N-NF-S PG
ἀσπάζομαι σύ ὁ μετά ἐγώ πᾶς ἀσπάζομαι ὁ φιλέω ἐγώ ἐν πίστις ὁ χάρις μετά

πάντων ὑμῶν.
A--GM-P NPG-2P
πᾶς σύ